*Ἀτρέως δέ — τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας —*
*ὁ κλεινός, εἰ δὴ κλεινός, Ἀγαμέμνων ἔφυ*
*Μενέλεώς τε Κρήσσης μητρὸς Ἀερόπης ἄπο.*
*γαμεῖ δ' ὁ μὲν δὴ τὴν θεοῖς στυγουμένην*
*Μενέλαος Ἑλένην, ὁ δὲ Κλυταιμήστρας λέχος*
*ἐπίσημον εἰς Ἕλληνας Ἀγαμέμνων ἄναξ·*
*ᾧ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,*
*Χρυσόθεμις Ἰφιγένειά τ' Ἠλέκτρα τ' ἐγώ,*
*ἄρσην τ' Ὀρέστης, μητρὸς ἀνοσιωτάτης,*
*ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι*
*ἔκτεινεν· ὧν δ' ἕκατι, παρθένῳ λέγειν*
*οὐ καλόν· ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.*

*Φοίβου δ' ἀδικίαν μὲν τί δεῖ κατηγορεῖν;*
*πείθει δ' Ὀρέστην μητέρ' ἥ σφ' ἐγείνατο*
*κτεῖναι, πρὸς οὐχ ἅπαντας εὔκλειαν φέρον.*
*ὅμως δ' ἀπέκτειν' οὐκ ἀπειθήσας θεῷ·*
*κἀγὼ μετέσχον, οἷα δὴ γυνή, φόνου ...*
*[Πυλάδης θ', ὃς ἡμῖν συγκατείργασται τάδε.]*

*ἐντεῦθεν ἀγρίᾳ συντακεὶς νόσῳ νοσεῖ*
*τλήμων Ὀρέστης ὅδε ... πεσὼν ἐν δεμνίοις*
*κεῖται, τὸ μητρὸς δ' αἷμά νιν τροχηλατεῖ*
*μανίαισιν· ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id405339755/14 UNIVERSITÄT LEIPZIG